γράφειν. ἐὰν δὲ μὴ συνθῇ, ὅτι ἔχει δύναμιν, ὅτε οὐ γράφει, τοῦ γράφειν. καὶ μανθάνει νῦν γράμματα, εἴπερ ἐμάνθανεν ἃ ἐπίσταται. ἔτι τὸ ἓν μόνον δυνάμενον φέρειν πολλὰ δύνασθαι φέρειν.

Παρὰ δὲ τὴν διαίρεσιν ὅτι τὰ πέντ' ἐστὶ δύο καὶ τρία, καὶ περιττὰ καὶ ἄρτια, καὶ τὸ μεῖζον ἴσον· τοσοῦτον γὰρ καὶ ἔτι πρός. ὁ γὰρ αὐτὸς λόγος διῃρημένος καὶ συγκείμενος οὐκ ἀεὶ ταὐτὸ σημαίνειν ἂν δόξειεν, οἷον "ἐγώ σ' ἔθηκα δοῦλον ὄντ' ἐλεύθερον" καὶ τὸ "πεντήκοντ' ἀνδρῶν ἑκατὸν λίπε δῖος Ἀχιλλεύς".

166b Παρὰ δὲ τὴν προσῳδίαν ἐν μὲν τοῖς ἄνευ γραφῆς διαλεκτικοῖς οὐ ῥᾴδιον ποιῆσαι λόγον, ἐν δὲ τοῖς γεγραμμένοις καὶ ποιήμασι μᾶλλον. οἷον καὶ τὸν Ὅμηρον ἔνιοι διορθοῦνται πρὸς τοὺς ἐλέγχοντας ὡς ἄτοπον εἰρηκότα "τὸ μὲν οὗ καταπύθεται ὄμβρῳ"· λύουσι γὰρ αὐτὸ τῇ προσῳδίᾳ λέγοντες τὸ οὔ ὀξύτερον. καὶ τὸ περὶ τὸ ἐνύπνιον τοῦ Ἀγαμέμνονος, ὅτι οὐκ αὐτὸς ὁ Ζεὺς εἶπεν "διδομεν δέ οἱ εὖχος ἀρέσθαι", ἀλλὰ τῷ ἐνυπνίῳ ἐνετέλλετο διδόναι. τὰ μὲν οὖν τοιαῦτα παρὰ τὴν προσῳδίαν ἐστίν.

Οἱ δὲ παρὰ τὸ σχῆμα τῆς λέξεως συμβαίνουσιν, ὅταν τὸ μὴ ταὐτὸ ὡσαύτως ἑρμηνεύηται, οἷον τὸ ἄρρεν θῆλυ ἢ τὸ θῆλυ ἄρρεν ἢ τὸ μεταξὺ θάτερον τούτων, ἢ πάλιν τὸ ποιὸν ποσὸν ἢ τὸ ποσὸν ποιόν, ἢ τὸ ποιοῦν πάσχον ἢ τὸ

---

**30** *μανθάνειν* pr. A, B u M[c], quod probat **24** *οὐ*—**30** *γράφειν* ut parenthesin saepiens Str. **30. 31** *μανθάνων γράμματα ἅπερ μανθάνει ἐπίσταται* ci. Poste **31** cf. Euthyd. 294a **33. 34** aut *τρία—δύο* aut *ἄρτια—περιττά* ci. Wl. ‖ post *γὰρ* add. *τὸ μεῖζον* BTM[c] Bo (om. *Π*) **36** *αἰεὶ* B ‖ *ἐγώ κτλ.*] cf. Terent. Andr. I 1, 10 **37** *πεντήκοντ' κτλ.*] 'incerti poetae' Bonitz Ind. 131a 4 'ex Homero desumta esse haud improbabile, quamquam ubi exciderint ignoramus' Waitz **166b 4** *ἀτόπως* Tu Bo (contra *Π*) var M[p] ‖ *εἰρηκότα* corr. A, C Tu *Π* M[p] Bo *εἰρηκότος* pr. A, B cf. Vahlen *Beitr.* 338 **5** *Ψ* 328 cf. *Περὶ ποιητ.* 1461a 22. 23 ‖ *αὐτὸ* om. C *αὐτοὶ Π* **6** *βαρύτερον* T (contra M[c]) **7** *αὐτῷ Π* ‖ quae memoriter citare videtur, non leguntur B 1—35, sed *Φ* 297 cf. Römer, *die Homercit. u. die hom. Fragen d. Arist.*, Sitzungsber. d. k. b. Ak. d. Wiss. 1884, 276sqq.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id408701080/218 UNIVERSITÄT LEIPZIG